www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΑΝΔΡΕΑΝ,
# ΤΟΝ ΚΑΤΑ ΧΡΙΣΤΟΝ
# ΣΑΛΟΝ

* * *



Συντεθεὶς
ὑπὸ Μοναχῆς Συγκλητικῆς,
τῆς Ἱερᾶς Μονῆς Ἁγίου Παντελεήμονος Χρυσοκάστρου,
διὰ τὴν ἐν Κατουνακίοις Ἁγίου Ὄρους Ἄθω
Μοναστικὴν ἀδελφότητα τῶν Δανιηλαίων.

* 1997 *



**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΑΝΔΡΕΑΝ, ΤΟΝ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΝ.**
*** * ***

Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τοῦ ποταμοῦ τῆς οὐρανίου σοφίας, καταρδευθεὶς θείοις νοήμασι μάκαρ, ἡμεῖς μωροὶ ἐκραύγαζες ἐσμὲν διὰ Χριστόν, τῆς μωρίας σχήματι, τὸν σὸν βίον διῆλθες, καὶ ποσὶν ὑπέταξας, σοφιστὴν τῆς κακίας, Ἀνδρέα πάτερ ὅθεν σαῖς εὐχαῖς, ἡμᾶς σωθῆναι, Θεὸν καθικέτευε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ ψαλμός, μεθ' ὃν ὁ κανών.

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Ἀνδρέα ὁσίων ἡ καλλονή, δόξα μοναζόντων, μὴ παρίδῃς ὑπὸ τὴν σήν, σκέπην τοὺς προστρέχοντας ἀπαύστως, καὶ ψυχικὴν σωτηρίαν νῦν αἴτησαι.

www.tezaurliturgic.ro

Μωρίαν ἑκούσιον ὑπελθών, διῆλθες ἀβρόχως, τρικυμίας τὰς τῶν παθῶν, ἐξ ὧν ἐκδυσώπει τοῦ ῥυσθῆναι, τοὺς προσιόντας τῇ θείᾳ πρεσβείᾳ σου.

Ἄοικος καὶ ἄσιτος διελθών, τὸν βίον σου πάτερ, παραδείσου πρὸς πλατυσμόν, ἐχώρησας χαίρων μεσιτεύων, ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην σου.

Θεοτοκίον

Τριάδος τὸν ἕνα ἐν σῇ γαστρί, ἐδέξω Παρθένε, καὶ ἐκύησας ἀληθῶς, εἰς λύτρωσιν κόσμου καὶ εἰς λύσιν, τῶν αἰωνίων δεσμῶν Θεονύμφευτε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Φερωνύμως ἀνδρείαν, κατὰ παθῶν ἔστησας, νίκην ὑπὲρ φύσιν τελέσας, ξένα παλαίσματα, καὶ ὑπερθαύμαστα, δι᾽ ὧν πολλὴν παῤῥησίαν, πρὸς Χριστὸν κτησάμενος, ἡμῶν μνημόνευε.

Ὁσιώτατε πάτερ, διὰ Χριστὸν ἔσπευσας, πλάνος καὶ μωρὸς νομισθῆναι, κρύπτων τὴν ἄνωθεν, χορηγηθεῖσάν σοι, πανσθενεστάτην σοφίαν, ᾗ ἡμᾶς συνέτισον, τοὺς εὐφημοῦντάς σε.

Μιμητὴς τοῦ Δεσπότου, ἀναδειχθεὶς ὅσιε, τὰ ἐκείνου στίγματα φέρων, καὶ συσταυρούμενος, τὸν κοσμοκράτορα, Ἀνδρέα πάτερ καθεῖλες, ὃν καὶ νῦν ἀνίσχυρον, δεῖξον τοῖς δούλοις σου.

Θεοτοκίον

Τὴν ὁλόφωτον πύλην, τὴν νοητὴν κλίμακα, τὴν παμφαεστάτην νεφέλην, τὸ ἀλατόμητον, ὄρος καὶ ἅγιον, τὴν τῶν ἀγγέλων Κυρίαν, τὴν ἀειμακάριστον, πάντες τιμήσωμεν.

Διάσωσον, ἀπὸ κινδύνων Ἀνδρέα τοὺς σὲ τιμῶντας, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς πρέσβυν ἡμῶν θερμότατον καὶ προστάτην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβείαν θερμήν, πρὸς Κύριον χρησάμενος, παντὸς πειρασμοῦ, ἀπάλλαξον τοὺς δούλους σου, τοὺς ναόν σοι ἅγιον, ἐκ ψυχῆς ἀνεγείραντας, Ἀνδρέα πάτερ σοφέ, ἀγγέλων ὄντως ἰσοστάσιε.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Ἀνδρικῶς ἐθανάτωσας, ὄφιν τὸν ἀρχέκακον προσποιήσεσι, ταῖς μωραῖς πάτερ σοφώτατε, ἐξ οὗ τῶν παγίδων ἡμᾶς λύτρωσαι.

Ἱκετεύομεν πόθῳ σε, ὅσιε Ἀνδρέα ὑπὲρ τῆς ποίμνης σου, δυσωπεῖν τὸν Ὑπεράγαθον, ὅπως λυτρωθῶμεν τῆς κολάσεως.

Καθαρθεὶς τὴν καρδίαν σου, τοῖς ὑπερφυέσι σου ἀγωνίσμασιν, ἐκκαθάραι τὰς ψυχὰς ἡμῶν, τὰς ἀμαυρωθείσας καθικέτευε.

Θεοτοκίον

Ἱλασμὸν τῶν πταισμάτων μου, αἴτησαι Κυρία τὸν Πολυέλεον, καταπέμψαι καὶ συγχώρησιν, ὧν ἀφρόνως ἔπραξα ὁ δείλαιος.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Φώτισον ἡμᾶς, φωταυγέσι μεσιτείαις σου, ὦ Ἀνδρέα καὶ φωτὶ σῶν προσευχῶν, τὰς ψυχὰς ἡμῶν καταύγασον δεόμεθα.

Ὅλη ἐν τῇ σῇ, διανοίᾳ κατεσκήνωσεν, ἡ τοῦ Πνεύματος σοφία ἣν ἡμῖν, καταπέμψαι τὸν Φιλάνθρωπον ἱκέτευε.

Σκέπη ἀσφαλής, ὦ Ἀνδρέα καὶ διάσωσμα, τοῖς σοῖς δούλοις καὶ πταισμάτων ἱλασμός, γεννηθήτω, ἡ πρεσβεία σου μακάριε.

Θεοτοκίον

Δεσποινα ἁγνή, τὸ τοῦ κόσμου καταφύγιον, τῆς σῆς χάριτος ταῖς πτέρυξί με σκέπασον, καὶ γλυκείᾳ, εὐσπλαγχνίᾳ ζωοποίησον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Μωρίᾳ σου, πεπλασμένῃ Ὅσιε, ἀπεμώρανας τὸν νοῦν τῆς κακίας, καὶ πτωχικῇ, πολιτείᾳ σου πάτερ, τὸν ἀγαθῶν θησαυρὸν κατεπλούτησας, καὶ γέγονας καταφυγή, καὶ λιμὴν προστασίας τοῖς χρῄζουσι.

Ἐξέστησας, ἀρχαγγέλων τάγματα, τῇ ἀφάτῳ ταπεινώσει σου πάτερ, διὸ ἡμῶν, ἐπῃρμένας καρδίας, τῇ σῇ εὐχῇ ταπεινώσει ἀσφάλισαι, καὶ ἀπαθείας στολισμῷ, καταφαίδρυνον ταύτας δεόμεθα.

Ἐπίβλεψον, οὐρανόθεν Ὅσιε, καὶ εὐλόγησον τὸν οἶκόν σου τοῦτον, ὃν τῇ σεπτῇ, σοῦ ἠγείραμεν μνήμῃ,

καὶ κατασκήνωσον ὧδε ἀείποτε, κατεύθυνον δὲ τῶν χειρῶν, ἡμῶν ἔργα πρὸς θείαν ἱλέωσιν.

Θεοτοκίον

Πανύμνητε, τῶν πιστῶν κραταίωμα, καὶ ἀντίληψις θερμὴ προστασία, τῷ σῷ Υἱῷ, μὴ ἐλλείπῃς πρεσβεύειν, ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου ἱκέτου σου, ῥυσθῆναί με τῶν πειρασμῶν, καὶ τυχεῖν σωτηρίας Θεόνυμφε.

Διάσωσον, ἀπὸ κινδύνων Ἀνδρέα τοὺς σὲ τιμῶντας, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς πρέσβυν ἡμῶν θερμότατον καὶ προστάτην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τοῖς ἀνοήτοις ὡς μωρὸς νομιζόμενος, καὶ διὰ πόθον τοῦ Χριστοῦ ἐμπαιζόμενος, τῇ Ἐκκλησίᾳ δέδοσαι μακάριε, βίβλος θεοτύπωτος, τῆς ἀῤῥήτου σοφίας, ἣν κατανοήσαντες, οἱ πιστοὶ ἀνυμνοῦμεν, πάτερ Ἀνδρέα σὲ τὸν καθαρόν, οἶκον Κυρίου, καὶ σκεῦος τοῦ Πνεύματος.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

**ΕΥΑΓΓΕΛΙΟΝ**

Ἐκ τοῦ κατὰ Ματθαῖον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς

ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ προσόμοιον.
Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Ἀστὴρ τηλαυγέστατος, τῇ τῶν Ἁγίων χορείᾳ, ἔλαμψας ἀοίδιμε, τῇ σοφῇ μωρίᾳ σου δοξαζόμενος, καὶ πιστοὺς ηὔγασας, τῷ φωτὶ τῶν ἔργων, καὶ θαυμάτων ἐπιδείξεσι, δι᾽ ὧν ἐγνώρισαι, φίλος τοῦ Θεοῦ ἀληθέστατος· πρόφθασον οὖν καὶ λύτρωσαι, τῶν δεινῶν παγίδων τοὺς δούλους σου, τοὺς θερμὸν προστάτην, καὶ ῥύστην πειρασμῶν παντοδαπῶν, σὲ κεκτημένους μακάριε, Ἀνδρέα πατὴρ ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Συσχεθέντες τῷ βάθει, τῶν ἀμέτρων πταισμάτων καὶ συνδεσμούμενοι, σειραῖς ἁμαρτημάτων, Ἀνδρέα τῇ σεπτῇ σου, βοηθείᾳ προστρέχομεν, ὅπως λυτρώσῃς ἡμᾶς, δεσμῶν τῶν αἰωνίων.

Ἔτι ὄντος σου πάτερ, ἐν τῷ σώματι ἤχθης πρὸς τὸν Παράδεισον, καὶ θείας ἠξιώθης, Δεσπότου ἐμφανείας, Ὃν ἀπαύστως ἱκέτευε, τῆς οὐρανίου χαρᾶς, ἡμᾶς καταξιῶσαι.

www.tezaurliturgic.ro

Ἀσθενεῖς ἰατρεύεις, καὶ νοσοῦντας ἰᾶσαι τῇ μεσιτείᾳ σου, δαιμόνων δὲ τὰ πλήθη, μακρὰν ἀποδιώκεις, καταφλέγων πυρφόρῳ σου, Ἀνδρέα πάτερ εὐχῇ, καὶ τέμνων τῷ σῷ λόγῳ.

Θεοτοκίον

Ἐκ γαστρός σου ἁγίας, ἐσαρκώθη Παρθένε ὁ Ὑπερούσιος, καὶ ὡς βροτὸς ὡράθη, τῆς ἀλογίας λύων, τοὺς βροτοὺς ἀνυμνοῦντάς σε, ὡς Θεοτόκον ἁγνήν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἀφισταμένους, τοῦ Θεοῦ ἁμαρτίαις, νῦν οἰκείωσον Ἀνδρέα παμμάκαρ, ὅπως σε ὑμνῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς παρθενίας, τὸ οὐράνιον ἄνθος, ἡμᾶς στήριξον ἀμάραντον τηρῆσαι, καὶ ἁγνείας τρόποις, Θεῷ εὐαρεστῆσαι.

Τοῦ Ὄρους τούτου, καταξίωσον πάντας, διανύσαι τὸν βίον ὡς τηροῦντας, τὰς ἐπαγγελίας, τοῦ Σχήματος Ἀνδρέα.

Θεοτοκίον

Μὴ διαλίπῃς, ὑπὲρ ἡμῶν Θεοτόκε, μεσιτεύειν τῷ ἐκ σοῦ τεχθέντι, ὅπως τῆς γεέννης, ῥυσθέντες σὲ ὑμνῶμεν.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Τοὺς πόθῳ προσφοιτῶντας, τῷ ναῷ σου πάτερ, ἐκ δεξιῶν τοῦ Δεσπότου ἀξίωσον, παρασταθῆναι ἐν ὥρᾳ, τῆς ἐξετάσεως.

Τρυφῆς τοῦ Παραδείσου, γενέσθαι κληρονόμους, τοὺς ἀσκουμένους ἐνθάδε ἱκέτευε, καὶ οὐρανῶν Βασιλείας, δεῖξον οἰκήτορας.

Διάσωσον ἀτρώτους, πάσης πονηρίας, τοὺς ἐκτελοῦντας Ἀνδρέα τὴν μνήμην σου, διαφυλάττων σκανδάλων, τοῦ πολεμήτορος.

Θεοτοκίον

Εὐσπλάγχνῳ ὄμματί σου, ἔπιδε Παρθένε, ἐπὶ τοὺς αἴροντας πόθῳ τὰ ὄμματα, καὶ προσδοκῶντας ἀγάπης, τῆς σῆς τὸ πέλαγος.

Ἄξιόν ἐστι... καὶ τὰ

Μεγαλυνάρια

Χαίροις τῆς σοφίας τῆς θεϊκῆς, σκεῦος θεοφόρε, ἀπαθείας στήλη λαμπρά, χαίροις εὐωδίας, τῆς οὐρανίου μύρον, Ἀνδρέα μοναζόντων, τὸ ἐγκαλλώπισμα.

Χαίροις ὁ μωρίαν διὰ Χριστόν, ἀγαπήσας πάτερ, καὶ ὡς ἔνδυμα θεϊκόν, περιβεβλημένος, Ἀνδρέα τοῖς Ἀγγέλων, χοροῖς συνηριθμήθης, ἀξιοθαύμαστε.

Χαίροις ταπεινώσεως ἐκλεκτόν, σκήνωμα Ἀνδρέα, καὶ πτωχείας ὁ θησαυρός, χαίροις τῶν ὁσίων, ὁμόσκηνε καὶ πάντων, συνόμιλε Ἁγίων, πάτερ ἀοίδιμε.

Χαίροις ὁ μωράνας τὸν σοφιστήν, τῆς κακίας πάτερ, προσποιήσεσι ταῖς μωραῖς, καὶ τοῦτον καιρίως, τῷ ξίφει καταπλήξας, τῶν ἱερῶν εὐχῶν σου, Ἀνδρέα ὅσιε.

Στενὴν καὶ τραχεῖαν πάτερ ὁδόν, ἤνυσας Ἀνδρέα, ἐμπαιζόμενος καὶ μωρός, δεικνύμενος ὅπως, ζωῆς τῆς αἰωνίου, ἐπαπολαύσῃς πάτερ, Χριστῷ ἱστάμενος.

www.tezaurliturgic.ro

Θέατρον ἐγένου καὶ τοῖς βροτοῖς, καὶ ἀγγέλοις πάτερ, παραδόξῳ σου βιοτῇ, Θεῷ δὲ ὡς μύρον, παμμάκαρ πανευῶδες, ὁ ἱερός σου βίος, ἐδείχθη ὅσιε.

Πᾶσαι τῶν Ἀγγέλων...

Τρισάγιον κλπ.

Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντες δυσωποῦμέν σε σοφέ, ὦ Ἀνδρέα πάτερ κινδύνων, ἀπολυτρώσασθαι, νόσων τε καὶ θλίψεων, καὶ περιστάσεων, τοὺς πιστῶς εὐφημοῦντάς σε, ὡς σεπτὸν δοχεῖον, τοῦ Ἁγίου Πνεύματος καὶ θείας χάριτος, ἔμψυχον κειμήλιον ὄντως, καὶ τῶν ὀρθοδόξων προστάτην, καὶ πιστῶν τὸ μέγα καταφύγιον.

Δέσποινα πρόσδεξαι.

Τὴν πᾶσαν ἐλπίδα μου.

Δι' εὐχῶν.

* * *

Στίχοι

Ὦ Ἀνδρέα, φύλαττε σοὶ ἀναθεῖσαν
οἶκον ἀδελφότητα ΔαÓÈËÏ·›ˆÓ.

